*αἱ στεῖραι καὶ αἱ κοιλίαι αἳ οὐκ ἐγέννησαν καὶ μαστοὶ*
*οἳ οὐκ ἔθρεψαν.*

30 *τότε ἄρξονται* **λέγειν τοῖς ὄρεσιν,**

**Πέσετε ἐφ᾽ ἡμᾶς,**

**καὶ τοῖς βουνοῖς,**

**Καλύψατε ἡμᾶς·**

**31** *ὅτι εἰ ἐν τῷ ὑγρῷ ξύλῳ ταῦτα ποιοῦσιν, ἐν τῷ ξηρῷ*
*τί γένηται;*[o]

**32** *Ἤγοντο δὲ καὶ ἕτεροι κακοῦργοι δύο σὺν αὐτῷ*
*ἀναιρεθῆναι.*[p] **33** *καὶ ὅτε ἦλθον ἐπὶ τὸν τόπον τὸν καλού-*
*μενον Κρανίον, ἐκεῖ ἐσταύρωσαν αὐτὸν καὶ τοὺς κα-*
*κούργους, ὃν μὲν ἐκ δεξιῶν ὃν δὲ ἐξ ἀριστερῶν.* **34** ⟦*ὁ*
*δὲ Ἰησοῦς ἔλεγεν, Πάτερ, ἄφες αὐτοῖς, οὐ γὰρ οἴδασιν τί*
*ποιοῦσιν.*⟧[5][q] *διαμεριζόμενοι δὲ τὰ ἱμάτια αὐτοῦ ἔβαλον*
*κλήρους.*[r] **35** *καὶ εἱστήκει ὁ λαὸς θεωρῶν. ἐξεμυκτήριζον*
*δὲ καὶ οἱ ἄρχοντες λέγοντες, Ἄλλους ἔσωσεν, σωσάτω*
*ἑαυτόν, εἰ οὗτός ἐστιν ὁ Χριστὸς τοῦ θεοῦ ὁ ἐκλεκτός.*[s]
**36** *ἐνέπαιξαν δὲ αὐτῷ καὶ οἱ στρατιῶται προσερχόμενοι,*
*ὄξος προσφέροντες αὐτῷ* **37** *καὶ λέγοντες, Εἰ σὺ εἶ ὁ*
*βασιλεὺς τῶν Ἰουδαίων, σῶσον σεαυτόν.*[t] **38** *ἦν δὲ καὶ*
*ἐπιγραφὴ ἐπ᾽ αὐτῷ*[6]*, Ὁ βασιλεὺς τῶν Ἰουδαίων οὗτος.*[u]

---

[5] **34** {A} *omit verse 34a ὁ δὲ ... ποιοῦσιν.* 𝔓[75] א[1] B D* W Θ 070 579 597* 1241 it[a, d] syr[s] cop[sa, bopt] // *include verse 34 a* (*with minor variants; see* Ac 7.60) א[*, 2] A C D[2] L Δ Ψ 0250 *f*[1] *f*[13] 28 33 157 180 205 565 597[c] 700 828 892 1006 1010 1071 1243 1292 1342 1424 1505 *Byz* [F G H N] *Lect* it[aur, b, c, e, f, ff2, l, r1] vg syr[c, p, h, pal] cop[bopt] arm eth geo slav Diatessaron Jacobus-Justus[acc. to Hegesipp] Irenaeus[lat] Hippolytus Origen[lat] Eusebius Eusebian Canons Ps-Ignatius Apostolic Constitutions Gregory-Nyssa Amphilochius Didymus[dub] Ps-Clementines Ps-Justin Chrysostom Cyril Hesychius Theodoret; Ambrosiaster Hilary Ambrose Jerome Augustine // *include verse 34a with asterisks* E

[6] **38** {A} *ἐπ᾽ αὐτῷ* 𝔓[75] א[1] B L 070 597 1241 cop[samss, bopt] // *ἐπ᾽ αὐτῷ γεγραμμένη* C* (579* *αὕτη for ἐπ᾽ αὐτῷ*) (it[a]) (syr[c, s]) cop[sams] // *γεγραμμένη ἐπ᾽ αὐτῷ γράμ-*

---

[o] **31** NO P: TR WH AD M NJB TOB // S: Lu [p] **32** SP: WH // P: TR AD NA Seg Lu // S: NJB TOB [q] **34** P: TEV FC VP REB ‖ [r] P: NA NIV // S: NJB [s] **35** P: TEV FC NIV VP [t] **37** P: M TEV FC NIV VP [u] **38** NO P: WH AD // S: NJB

---

**30** *ἄρξονται ... Καλύψατε ἡμᾶς* Ho 10.8 (Re 6.16) **33** *ἐσταύρωσαν ... ἀριστερῶν* Is 53.12 **34** *Πάτερ ... ποιοῦσιν* Is 53.12; Mt 5.44; Ac 7.60 *διαμεριζόμενοι ... κλήρους* Ps 22.18 **35-36** *εἱστήκει ... στρατιῶται* Ps 22.7-8 **36** *ὄξος ... αὐτῷ* Ps 69.21

**31** *Ἡ μὲν οὖν ἐκκλησία*[3] *καθ᾽ ὅλης τῆς Ἰουδαίας καὶ*
*Γαλιλαίας καὶ Σαμαρείας εἶχεν*[3] *εἰρήνην*[o] *οἰκοδομουμένη*[p]
*καὶ πορευομένη*[3] *τῷ φόβῳ τοῦ κυρίου*[q] *καὶ τῇ παρακλήσει*
*τοῦ ἁγίου πνεύματος ἐπληθύνετο.*[3r]

### The Healing of Aeneas

**32** *Ἐγένετο δὲ Πέτρον διερχόμενον διὰ πάντων κατελ-*
*θεῖν καὶ πρὸς τοὺς ἁγίους τοὺς κατοικοῦντας Λύδδα.*
**33** *εὗρεν δὲ ἐκεῖ ἄνθρωπόν τινα ὀνόματι Αἰνέαν ἐξ ἐτῶν*
*ὀκτὼ κατακείμενον ἐπὶ κραβάττου, ὃς ἦν παραλελυμένος.*
**34** *καὶ εἶπεν αὐτῷ ὁ Πέτρος, Αἰνέα, ἰᾶταί σε Ἰησοῦς*
*Χριστός· ἀνάστηθι καὶ στρῶσον σεαυτῷ.*[s] *καὶ εὐθέως*
*ἀνέστη.* **35** *καὶ εἶδαν αὐτὸν πάντες οἱ κατοικοῦντες*
*Λύδδα καὶ τὸν Σαρῶνα, οἵτινες ἐπέστρεψαν ἐπὶ τὸν*
*κύριον.*[t]

### Dorcas Restored to Life

**36** *Ἐν Ἰόππῃ δέ τις ἦν μαθήτρια ὀνόματι Ταβιθά, ἣ*
*διερμηνευομένη λέγεται Δορκάς· αὕτη ἦν πλήρης ἔργων*
*ἀγαθῶν καὶ ἐλεημοσυνῶν ὧν ἐποίει.* **37** *ἐγένετο δὲ ἐν*
*ταῖς ἡμέραις ἐκείναις ἀσθενήσασαν αὐτὴν ἀποθανεῖν·*
*λούσαντες δὲ ἔθηκαν [αὐτὴν] ἐν ὑπερῴῳ.* **38** *ἐγγὺς δὲ*
*οὔσης Λύδδας τῇ Ἰόππῃ οἱ μαθηταὶ ἀκούσαντες ὅτι*
*Πέτρος ἐστὶν ἐν αὐτῇ ἀπέστειλαν δύο ἄνδρας πρὸς αὐτὸν*

---

[3] **31** {A} *ἡ ... ἐκκλησία ... εἶχεν ... οἰκοδομουμένη καὶ πορευομένη ... ἐπληθύνετο* 𝔓[74] ℵ A B C 36 81 181 307 453 610 945 1175 1678 1739 1891 *l* 1178 it[c, dem, ph, ro, w] vg (syr[p]) (cop[sa, bo, fay, meg]) arm eth Ps-Dionysius ∥ *αἱ ... ἐκκλησίαι ... εἶχον ... οἰκοδομούμεναι καὶ πορευόμεναι ... ἐπληθύνοντο* 614 1409 2344 *Byz* [L P] *Lect* (*l* 422 *l* 1154 *omit καὶ πορευόμεναι; l* 680 *ληταιβόμεναι [sic] for πορευόμεναι*) it[ar, gig, (p)] syr[h] (cop[bomss]) geo slav Chrysostom; (Augustine) Bede[1/4] ∥ *αἱ ... ἐκκλησίαι πᾶσαι ... εἶχον ... οἰκοδομούμενοι καὶ πορευόμενοι ... ἐπληθύνοντο* E (Ψ *ἡ ... ἐκκλησία ... εἶχον ... οἰκοδομημένοι κ. π. ... ἐπληθύνετο*) it[e]

---

[o] **31** C: TR TEV Seg FC NIV (Lu) TOB ∥ [p] C: WH RSV Seg NIV VP (Lu) NRSV ∥ [q] C: TR AD M (Seg) FC (Lu) NJB TOB REB ∥ [r] P: WH AD NA M Seg REB [s] **34** P: FC VP [t] **35** P: TR WH AD NA M RSV TEV Seg NIV REB NRSV